© www.astrothesaurus.gr

***Περὶ τῶν ὀνομάτων τῶν ἑπτὰ κλήρων καὶ ἃ σημαίνει***

*«Πρῶτος ὁ τῆς Τύχης κλῆρος, ὃν ἀριθμεῖν δεήσει». Ἐπειδὴ ἐν τῇ προλαβούσῃ θεωρίᾳ προανεκρουσάμεθα τὴν μέθοδον τῆς τῶν κλήρων εὑρέσεως, φέρε νῦν ταύτην παραδώσομεν. καὶ πρῶτόν γε ἀρξόμεθα ἀπὸ τοῦ κλήρου τῆς Τύχης, ἐπειδὴ μᾶλλον αὕτη ἡ θεὸς συγγενεστέρα τοῖς τῇδε πέφυκεν αὔξουσα καὶ μειοῦσα τὰ πράγματα, ὅθεν καὶ τῇ Σελήνῃ αὐτὴν ᾠκείωσεν ὁ θειότατος ἐκεῖνος, Ἑρμῆν φημι τὸν Τρισμέγιστον.*

*Εἶτα μετὰ ταύτην τὸν τοῦ Ἀγαθοῦ Δαίμονος, ἐπειδὴ ἤθη ψυχῆς καὶ φρόνησιν καὶ προαίρεσιν ἐκ τούτου δυνάμεθα γινώσκειν, ὥσπερ ἐκ τῆς Τύχης περὶ τοῦ σώματος καὶ τῶν περὶ τὸ σῶμα. περὶ ταῦτα δὲ μάλιστα ἡ μεγίστη μαντεία καταγίνεται τοῦ γνῶναι ἤθη ψυχῆς καὶ διαγωγὴν σώματος, ταὐτὸν δὲ εἰπεῖν, πῶς μὲν ψυχὴ πολιτεύεται κατὰ τὸν τῇδε κόσμον, ἄνωθεν ἐλθοῦσα, πῶς δὲ τὸ σῶμα καὶ τὰ περὶ τὸ σῶμα, καὶ ἁπλῶς εἰπεῖν, πάντα τὰ οὐκ ἐφ’ ἡμῖν ὑπαντήσει.*

*τούτου χάριν πρὸ πάντων τῶν κλήρων τὸν τοῦ Δαίμονος καὶ τῆς Τύχης κλῆρον ζητητέον. ἀλλὰ μὴν καὶ ἑτέραν αἰτίαν εἶπε, ὅτι διὰ τοῦτο τὸν τοῦ Δαίμονος καὶ τῆς Τύχης κλῆρον δεῖ προεκβάλλειν, ἐπειδὴ ἀπὸ τούτων καὶ τοὺς ἄλλους πάντας ἐκβάλλομεν· οὐκ ἠδυνάμεθα οὖν τούτων μὴ ἐκβληθέντων τοὺς λοιποὺς ἐκβάλλειν. ἐπεὶ τοίνυν ταῦτα καλῶς εἴρηται, ἔλθωμεν ἐπὶ τὸ προκείμενον καὶ ζητήσωμεν τὴν μέθοδον, δι’ ἧς ὁ κλῆρος τῆς Τύχης ἐκβάλλεται.*

*Δεῖ γὰρ σκοπεῖν ἐν ποίῳ ζῳδίῳ καὶ ἐν ποίᾳ μοίρᾳ ὑπῆρχεν ὁ Ἥλιος κατὰ τὸν καιρὸν τῆς γενέσεως ἢ ἁπλῶς εἰπεῖν ἐπὶ παντὸς ἐγχειρουμένου πράγματος, ὡσαύτως δὲ καὶ ἐν ποίῳ ζῳδίῳ καὶ ποίᾳ μοίρᾳ ὑπῆρχεν ἡ Σελήνη, πρὸς τούτοις δὲ καὶ ὁ ὡροσκόπος ἐν ποίῳ ζῳδίῳ ὑπῆρχεν καὶ ἐν ποίᾳ μοίρᾳ,*

καὶ ὅταν ταῦτα εὑρεθῇ, εἰ μὲν ἡμερινή ἐστιν ἡ γέννησις, τηνικαῦτα μετρεῖν τὸ ἀπὸ Ἡλίου μέχρι τῆς Σελήνης διάστημα τῶν μοιρῶν εἶτα τούτῳ τῷ ἀριθμῷ τῷ εὑρεθέντι ἐν τῷ διαστήματι προσπλέκειν τὸν ἀριθμὸν [τῶν μοιρῶν] τὸν εὑρεθέντα ἐπὶ τοῦ ὡροσκόπου, εἶτα οὕτως ἀπολύειν ἀπὸ τοῦ ὡροσκόπου διδόντας ἑκάστῳ ζῳδίῳ μοίρας λ´ καὶ σκοπεῖν, ἐν ποίῳ ζῳδίῳ καταλήξει ὁ ἀριθμὸς ὁ εὑρεθεὶς καὶ ἐν ποίᾳ μοίρᾳ, καὶ ἐκεῖσε λέγειν εἶναι τὸν κλῆρον τῆς Τύχης·

Ὑποδείγματος χάριν· ἔστω ὁ Ἥλιος ἐν Διδύμων μοίρᾳ ιβ´, ἡ δὲ Σελήνη <ἐν> Ὑδροχόου μοίρᾳ κη´, ὁ δὲ ὡροσκόπος <ἐν> Ζυγοῦ μοίρᾳ ι´ ἐπὶ ἡμερινῆς γενέσεως. ἐνταῦθα τὸ ἀπὸ Ἡλίου ἐπὶ τὴν Σελήνην μετρῶ διάστημα, ἐπειδὴ ἡμερινή ἐστιν ἡ γένεσις. λαμβάνω οὖν τῶν μὲν Διδύμων ιβ´, ἐν ᾧ ἦν ὁ Ἥλιος, τοῦ δὲ Ὑδροχόου κη´, ἔνθα ἦν ἡ Σελήνη, γίνονται μοῖραι μ´, εἶτα τὰ διὰ μέσου ζῴδια ψηφίζω ἀνὰ λ´, εἰσὶν δὲ ζ´ ἀναμεταξὺ Διδύμων καὶ Ὑδροχόου. ἑπτάκις λ´ σι´, προσμίγνυμι καὶ τὰ τῶν ζῳδίων, ἐν οἷς ἦσαν ὁ Ἥλιος καὶ ἡ Σελήνη, γίνονται σν´. προσμίγνυμι καὶ τὰ τοῦ ὡροσκόπου μόρια ι´, καὶ γίνονται πάντα σξ´· λοιπὸν ἐκβάλλω ἀπὸ τοῦ ὡροσκόπου, αὐτῷ τῷ ὡροσκόπῳ διδοὺς πρῶτον λ´, φημὶ δὴ Ζυγῷ, καὶ τοῖς ἐφεξῆς ἀπὸ λ´ μεχρὶ Διδύμων, ὀκτάκις γὰρ λ´ σμ´, λοιπὸν κ´, ταῦτα δίδωμι τοῖς Διδύμοις, καὶ λέγω, ὅτι ὁ κλῆρος τῆς Ἀγαθῆς Τύχης ἐστὶ ἐν Διδύμων μοίρᾳ κ´. λοιπὸν θεωρῶ, οἱ Δίδυμοι πῶς διάκεινται, ἆρα κέντρου τόπον ἐπέχουσιν οἷον ἀναφορᾶς, ἢ ἐκεῖ τίς ἐστιν τῶν ἀγαθοποιῶν ἀστέρων καὶ τὰ ἄλλα πάντα, ἅπερ ἐν τῇ πινακικῇ ἐπισκέψει παραδέδοται· καὶ οὕτως ἀποφαίνομαι περὶ τῶν κατὰ τὸ σῶμα ἢ περὶ τὸ σῶμα μελλόντων συμβαίνειν. καὶ ταῦτα μὲν περὶ ἡμερινῆς γενέσεως.

Εἰ μέντοι νυκτερινὸν ἦν τὸ θέμα, τοὐναντίον· ἀπὸ Σελήνης γὰρ ἐπὶ Ἥλιον ἐμέτρουν τὸ διάστημα, τουτέστιν ἀπὸ Ὑδροχόου ἐπὶ Διδύμους, καὶ ἐλάμβανον τοῦ μὲν Ὑδροχόου μοίρας β´, τῶν δὲ Διδύμων μοίρας ιη´, ἅσπερ

© www.astrothesaurus.gr

*ὥδευσεν ὁ Ἥλιος· γίνονται κ΄. εἶτα ἐμέτρουν τὸ μεταξὺ τῶν γ΄ ζῳδίων διάστημα, ὅπερ εἰσὶ μοῖραι ϛ΄. Προσετίθουν καὶ τὰς κ΄ τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ τὰς ι΄ τοῦ ὡροσκόπου. γίνονται ρκ΄. ἐξέβαλλον ἀπὸ τοῦ ὡροσκόπου αὐτοῦ διδοὺς πρῶτον λ΄ καὶ τοῖς ἐφεξῆς οὕτως μέχρι δ΄ ζῳδίων ἀπὸ Ζυγοῦ. λοιπὸν οὐδέν, ταὐτὸν δὲ εἰπεῖν, ὅτι Αἰγοκέρωτός ἐστι ὁ κλῆρος τῆς Τύχης μοίρᾳ λ΄. καὶ οὕτως μὲν ἐπὶ τοῦ κλήρου τῆς Τύχης.*

*Ἐπὶ μέντοι τοῦ κλήρου τοῦ Δαίμονος τὸ ἀνάπαλιν, ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀπὸ Σελήνης ἐπὶ τὸν Ἥλιον, ἐπὶ δὲ νυκτερινῆς ἀπὸ Ἡλίου ἐπὶ Σελήνην. μετρητέον πάλιν τὰς τοῦ ὡροσκόπου, ἐκβάλλων τὸν συναχθέντα ἀριθμόν, καὶ ὅπου ἂν ἐκπέσῃ ὁ ἀριθμός, ἐκεῖ λέγε εἶναι τὸν κλῆρον τοῦ Δαίμονος, ὥσπερ ἐπὶ τῆς Ἀγαθῆς εἴρηται Τύχης.*

*καὶ οὕτως μὲν περὶ τῶν κλήρων τοῦ Ἀγαθοῦ* ***Δαίμονος*** *καὶ τῆς Ἀγαθῆς* ***Τύχης*** *ῥητέον.*

*Λοιπὸν δὲ ζητήσωμεν, πῶς καὶ οἱ λοιποὶ κλῆροι ἐκβάλλονται, πρῶτον ἀπὸ τοῦ* ***Ἔρωτος*** *ἀρξάμενοι. χρὴ γὰρ σκοπεῖν, ἐν ποίῳ ζῳδίῳ καὶ ἐν ποίᾳ μοίρᾳ ἐστὶν ἡ Ἀφροδίτη, καὶ ψηφῖσαι τὸ μέσον διάστημα, ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀπὸ κλήρου Δαίμονος ἐπὶ τὴν μοῖραν τῆς Ἀφροδίτης, ἐπὶ δὲ νυκτερινῆς τὸ ἀνάπαλιν ἀπὸ τῆς μοίρας τῆς Ἀφροδίτης ἐπὶ κλῆρον Δαίμονος· εἶθ' οὕτως προσθεῖναι τὰς τοῦ ὡροσκόπου καὶ ἐκβάλλειν ἀπὸ τοῦ ὡροσκόπου καὶ ἰδεῖν, ἐν ποίῳ ζῳδίῳ πίπτει ὁ ἀριθμός. ἐκεῖσε γάρ ἐστι ὁ κλῆρος τοῦ Ἔρωτος.*

*Ὁ δὲ τῆς* ***Νίκης*** *κλῆρος εὑρεθήσεται οὕτως· ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀρίθμησον ἀπὸ κλήρου Δαίμονος ἐπὶ μοῖραν Διός, εἶτα πρόσθες τὰς ἀπὸ τοῦ ὡροσκόπου, εἶθ' οὕτως ἔκβαλλε κατὰ τὴν προειρημένην ἐπὶ τῶν ἄλλων κλήρων μέθοδον. καὶ ἔνθα ἂν λήξῃ ὁ ἀριθμός, ἐκεῖ λέγε εἶναι τὸν κλῆρον τῆς Νίκης.*

© www.astrothesaurus.gr

*Τὸν δὲ κλῆρον τῆς* ***Ἀνάγκης*** *ἐπὶ ἡμερινῆς γενέσεως μέτρησον ἀπὸ μοιρῶν Ἑρμοῦ ἐπὶ κλῆρον τῆς Τύχης, ἐπὶ νυκτερινῆς τὸ ἀνάπαλιν· εἶθ' οὕτως πρόσθες τὰς ἀπὸ τοῦ ὡροσκόπου καὶ ἔκβαλλε.*

*Τὸν δὲ τῆς* ***Τόλμης*** *κλῆρον ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀπὸ μοιρῶν Ἄρεως ἐπὶ τὸν κλῆρον τῆς Τύχης μέτρησον, ἐπὶ δὲ νυκτερινῆς τὸ ἀνάπαλιν· καὶ ὁμοίως προσθεὶς τὰς τοῦ ὡροσκόπου ἔκβαλλε.*

*Τὸν δὲ κλῆρον τῆς* ***Νεμέσεως*** *ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀπὸ μοιρῶν Κρόνου ἐπὶ τὸν κλῆρον τῆς Τύχης, ἐπὶ δὲ νυκτερινῆς τὸ ἀνάπαλιν, ἀπὸ κλήρου Τύχης ἐπὶ μοῖραν Κρόνου.*

*Καὶ οὗτοι μὲν οἱ ἑπτὰ κλῆροι οἱ ἐν τῷ Παναρέτῳ γεγραμμένοι ὑπὸ τοῦ θειοτάτου Ἑρμοῦ τοῦ Τρισμεγίστου, οὕσπερ ὁ Παῦλος ἐνταῦθα διέθηκεν.*

*Ἰστέον δὲ ὅτι καὶ ἄλλοι κλῆροι ὑπάρχουσιν ἔξωθεν τῆς Παναρέτου οἱ λεγόμενοι πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν καὶ τέκνων καὶ γάμου καὶ ἄλλων πολλῶν. ὁ μέντοι Παῦλος οὐ πάντας ἐκτίθεται, οὐδήπου γὰρ ξενίας κλῆρον ἐκτίθεται ἢ πραγματείας ἢ ἐμπορίας καὶ τῶν τοιούτων, ἀλλὰ μόνον πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν καὶ τέκνων καὶ γάμων, ἅπερ εἰσὶν ἀναγκαῖα, καί φησι ὅτι,*

*εἰ τὸν κλῆρον τοῦ* ***πατρὸς*** *θέλεις ἐκβάλλειν, ἀπὸ μοίρας τοῦ Ἡλίου ἐπὶ μοῖραν Κρόνου ψήφισον ἐπὶ ἡμερινῆς γενέσεως, ἐπὶ δὲ νυκτερινῆς τὸ ἀνάπαλιν. εἰ δὲ ὕπαυγός ἐστιν ὁ Κρόνος, ἀπὸ Ἄρεως ἐπὶ Δία ψήφιζε καὶ ἐπὶ ἡμέρας καὶ νυκτός. εἰ γὰρ εἰς ἀγαθὸν ζῴδιον ἐμπέσῃ ὁ κλῆρος τοῦ πατρός, ἔνθα εἰσὶν ἀγαθοποιοὶ ἀστέρες, Κρόνος ἢ ἔγκεντρος εὑρεθῇ, καὶ ἁπλῶς τὰ ἄλλα καλῶς διάκειται τὸ ζῴδιον, λαμπρός ἐστιν ὁ πατὴρ καὶ εὐτυχής. εἰ δὲ μὴ οὕτως τύχῃ τὸ ζῴδιον, ἐναντίον λέγε.*

*Τὸν δὲ κλῆρον τῆς* ***μητρὸς*** *ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀπὸ μοίρας τῆς Ἀφροδίτης ἐπὶ μοῖραν Σελήνης, ἐπὶ δὲ νυκτερινῆς τὸ ἀνάπαλιν, προσβάλλων*

*δηλονότι καὶ τὰς ἀπὸ τοῦ ὡροσκόπου μοίρας. τοῦτο γὰρ πανταχοῦ δεῖ ποιεῖν καὶ οὕτως ἀπ᾽ αὐτοῦ ἐκβάλλειν.*

*Τὸν δὲ τῶν* ***ἀδελφῶν*** *κλῆρον καὶ ἐπὶ ἡμέρας καὶ νυκτὸς ἀπὸ μοίρας Κρόνου ἐπὶ μοῖραν Διὸς ψήφιζε ἅμα ταῖς ἀπὸ ὡροσκόπου μοίραις, τὸν δὲ τῶν τέκνων κλῆρον τὸ ἀνάπαλιν, ἀπὸ Διὸς ἐπὶ τὸν Κρόνον, προσθεὶς τὰς τοῦ ὡροσκόπου καὶ ἐκβάλλων ἀπ᾽ αὐτοῦ.*

*Τὸν δὲ κλῆρον τοῦ* ***γάμου*** *ἐπὶ μὲν ἀρσενικῆς γενέσεως ἀπὸ Κρόνου ἐπὶ Ἀφροδίτην μέτρησον, ἐπὶ δὲ θηλυκῆς τὸ ἀνάπαλιν, καὶ ἐπὶ ἡμερινῶν καὶ ἐπὶ νυκτερινῶν ἀπὸ Ἀφροδίτης ἐπὶ τὸν Κρόνον προστιθεμένων δηλονότι καὶ τῶν ἀπὸ ὡροσκόπου μοιρῶν.*

*Ἐκ τούτων δὲ πάντων δηλοῦται ἡμῖν, ὅτι καθόλου ὁ ἀριθμὸς ἢ ἀπὸ ἀστέρων ἐπὶ ἀστέρας γίνεται, ὥσπερ ἐπὶ τοῦ Δαίμονος καὶ τῆς Τύχης εἴρηται· ἐκεῖ γὰρ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ ἀπὸ Σελήνης ἐπὶ Ἥλιον γίνεται ὁ ἀριθμός, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ κλήρου τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ τῶν λοιπῶν· ἢ ἀπὸ ἀστέρων ἐπὶ κλήρους ἢ ἀπὸ κλήρων ἐπὶ ἀστέρας ὡς εἴρηται καὶ ἐπὶ τοῦ κλήρου τοῦ Ἔρωτος καὶ τῆς Ἀνάγκης καὶ τῶν λοιπῶν ἐπὶ ἡμερινῆς γενέσεως καὶ νυκτερινῆς, ἐπὶ μὲν Ἔρωτος καὶ Νίκης ἐπὶ τῶν ἡμερινῶν γενέσεων ἀπὸ κλήρου ἐπὶ ἀστέρας, ἐπὶ δὲ νυκτερινῶν τὸ ἀνάπαλιν· ἐπὶ δὲ Τόλμης, Ἀνάγκης, Νεμέσεως ἐπὶ μὲν τῶν ἡμερινῶν γενέσεων ἀπὸ ἀστέρων ἐπὶ κλήρους, ἐπὶ δὲ νυκτερινῶν ἀπὸ κλήρων ἐπ᾽ ἀστέρας.*

***Κλῆροι ἡμερινοὶ οὗτοι·***
*(ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὸ ἀνάπαλιν)*

*Κλῆρος ξενιτείας ἀπὸ ☉ ἐπὶ ♂,*

*κλῆρος ἐξουσίας ἀπὸ ♂ ἐπὶ ☉,*

*κλῆρος εὑρήματος ἀπὸ ♄ ἐπὶ ♃,*

κλῆρος στρατείας ἀπὸ ♂ ἐπὶ ♃,

κλῆρος κλοπῆς ἀπὸ ☿ ἐπὶ ♂,

κλῆρος ἐπιθυμίας ἀπὸ ♃ ἐπὶ ♀,

κλῆρος κληρονομίας ἀπὸ ♄ ἐπὶ ♀,

κλῆρος κοινωνίας ἀπὸ ☿ ἐπὶ ♀,

κλῆρος δανείων ἀπὸ ☿ ἐπὶ ♄,

κλῆρος νίκης ἀπὸ ♀ ἐπὶ ♂,

κλῆρος πράξεως ἀπὸ ☿ ἐπὶ ☽,

κλῆρος ἀρχῆς ἀπὸ ♃ ἐπὶ ♀,

κλῆρος μοιχείας ἀπὸ ♀ ἐπὶ ♂,

κλῆρος ἀγορασίας ἀπὸ ♀ ἐπὶ ☿,

κλῆρος γονέων ἀπὸ ☉ ἐπὶ ☽,

κλῆρος ναυκληρίας ἀπὸ ♄ ἐπὶ ☿,

κλῆρος δούλων ἀπὸ ♂ ἐπὶ ☽,

κλῆρος φίλων ἀπὸ ☿ ἐπὶ ♀,

κλῆρος θανάτου ἀπὸ ♄ ἐπὶ ☽,

κλῆρος χωρίων ἀπὸ ♄ ἐπὶ ☿,

κλῆρος πράγματος ἀπὸ ♃ ἐπὶ ♂,

κλῆρος τέχνης ἀπὸ ♂ ἐπὶ ☽,

κλῆρος σίνους ἀπὸ ♂ ἐπὶ ♄,

κλῆρος βίου ἀπὸ ♀ ἐπὶ ♄,

κλῆρος ζωῆς ἀπὸ ☽ ἐπὶ ♀,

κλῆρος βάσεως ἀπὸ ♀ ἐπὶ ☿,

κλῆρος ἐχθρῶν ἀπὸ ♄ ἐπὶ ♂,

κλῆρος ἀξιώματος ἀπὸ ☉ ἐπὶ ♂,

*κλῆρος πατρίδος ἀπὸ ♄ ἐπὶ ☿,*

*κλῆρος κριτηρίου ἀπὸ ♄ ἐπὶ ♃,*

*κλῆρος ἐκδημίας ἀπὸ ♄ ἐπὶ ♂,*

*κλῆρος συνοχῆς ἀπὸ ♄ ἐπὶ ☉,*

*κλῆρος λύπης ἀπὸ ♄ ἐπὶ ♂,*

*κλῆρος πράξεως ἀπὸ ♃ ἐπὶ ♀.*

***Ἄλλως οἱ κλῆροι κάλλιον***

*Κλῆρος βίου ἀπὸ ☉ ἐπὶ ὡροσκόπον,*

*κλῆρος κοινωνίας ἀπὸ ♃ ἐπὶ ♀,*

*κλῆρος δούλων ἀπὸ ☿ ἐπὶ ☽,*

*κλῆρος ζωῆς ἀπὸ ♃ ἐπὶ ♄,*

*κλῆρος πράσεως ἀπὸ ☉ ἐπὶ ♃,*

*κλῆρος γεωργίας ἀπὸ ♄ ἐπὶ ♀,*

*κλῆρος φίλων ἀπὸ ♃ ἐπὶ ♀,*

*κλῆρος πλούτου ἀπὸ ♃ ἐπὶ ☉,*

*κλῆρος εὐρωστίας ἀπὸ ☉ ἐπὶ τὸ μεσουράνημα,*

*κλῆρος εὐφημίας ἀπὸ †**1** β μέρη εἰς ☽ δύσιν †,*

*κλῆρος ἐχθρῶν ἀπὸ ♄ ἐπὶ ♂,*

*κλῆρος ἐγγαίων ἀπὸ ♀ ἐπὶ ♄,*

*κλῆρος ἀγορασίας ἀπὸ ♂ ἐπὶ ♀,*

*κλῆρος πράσεως ἀπὸ ♀ ἐπὶ ♂,*

*κλῆρος μίσους ἀπὸ ♂ ἐπὶ ♄,*

*κλῆρος διαθήκης ἀπὸ ♄ ἐπὶ ♃,*

*κλῆρος κοινωνίας ἀπὸ ☿ ἐπὶ ♃,*

© www.astrothesaurus.gr

*κλῆρος ὑδάτων ἀπὸ ♀ ἐπὶ ♄,*

*κλῆρος οἰκήσεως ἀπὸ ♄ ἐπὶ ☽,*

*κλῆρος τάφου ἀπὸ ☽ ἐπὶ ♄,*

*κλῆρος μηνυτοῦ ἀπὸ ☿ ἐπὶ ♀,*

*κλῆρος ἀπωλείας ἀπὸ ♂ ἐπὶ ☿,*

*κλῆρος κλεπτῶν ἀπὸ ☿ ἐπὶ ♂,*

*κλῆρος χρεώστου ἀπὸ ♄ ἐπὶ ☿,*

*κλῆρος γενέσεως ἀπὸ ☉ ἐπὶ Κριοῦ μοῖραν ιθ΄, [τὸ ὕψωμα αὐτοῦ]*

*κλῆρος Τύχης ἀπὸ ☉ ἐπὶ ☽,*

*κλῆρος Δαίμονος ἀπὸ ☽ ἐπὶ ☉,*

*κλῆρος Ἔρωτος ἀπὸ Δαίμονος ἐπὶ ☿,*

*κλῆρος Ἀνάγκης ἀπὸ ☿ ἐπὶ Τύχην,*

*κλῆρος Νίκης ἀπὸ Δαίμονος ἐπὶ ♃,*

*κλῆρος Τόλμης ἀπὸ ♂ ἐπὶ Τύχην,*

*κλῆρος Νεμέσεως ἀπὸ ♄ ἐπὶ Τύχην,*

*κλῆρος πατρὸς ἀπὸ ☉ ἐπὶ ♄,*

*κλῆρος μητρὸς ἀπὸ ♀ ἐπὶ ☽,*

*κλῆρος ἀδελφῶν ἀπὸ ♄ ἐπὶ ♃,*

*κλῆρος τέκνων ἀπὸ ♃ ἐπὶ ♄,*

*κλῆρος γάμων ἀρρενικῶν ἀπὸ ♄ ἐπὶ ♀,*

*κλῆρος γάμων θηλυκῶν ἀπὸ ♀ ἐπὶ ♄, καὶ ἐπὶ νυκτὸς ὡσαύτως,*

*κλῆρος αἰτιατικοῦ τόπου ἀπὸ ♄ ἐπὶ ♂,*

*κλῆρος ἀναιρέτου ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ ὡροσκόπου ἐπὶ ☽, καὶ ἐπὶ νυκτὸς ὁμοίως,*

*κλῆρος θανάτου ἀπὸ ☽ ἐπὶ τὸν ὄγδοον τόπον καὶ τὰ ἴσα ἀπὸ ♄, καὶ ἐπὶ νυκτὸς ὁμοίως.*

*καὶ οὗτοι μὲν οἱ κλῆροι ἔξωθέν εἰσι τῆς Παναρέτου, ἣν ὁ Τρισμέγιστος Ἑρμῆς ἐξέθετο. ἐν αὐτῇ γὰρ μόνους τοὺς ἑπτὰ κλήρους παραδέδωκεν, λέγω δὴ τὸν τοῦ* ***Δαίμονος*** *καὶ τῆς* ***Τύχης*** *καὶ τῆς* ***Ἀνάγκης*** *καὶ τοῦ* ***Ἔρωτος*** *καὶ τῆς* ***Τόλμης*** *καὶ τῆς* ***Νίκης*** *καὶ τῆς* ***Νεμέσεως****. Ὁ δὲ σοφώτατος Παῦλος προσέθηκεν καὶ πατρὸς καὶ μητρὸς καὶ γάμου καὶ τέκνων καὶ ἀδελφῶν κλήρους μόνον.*

*Τοὺς δὲ ἄλλους πάντας ἡμεῖς ἐξ ἑτέρων ἀρχαίων εὑρόντες προσεθήκαμεν εἰς τὸ εἶναι τέλειον τὸν περὶ κλήρων λόγον. καὶ γὰρ εἰς τὰ μέγιστα ἡμῖν συμβάλλεται ἡ περὶ τούτων ἐπίσκεψις. ἐπὶ γὰρ παντὸς πράγματος ἐγχειρουμένου ἢ ἀποδημίας ἢ τέχνης ἢ φίλων ἢ γάμου ἢ ἄλλου τινὸς οἱουδήποτε βουλόμενος γνῶναι τὸ ἀποτέλεσμα εἴτε συμφέρον εἴτε ἀσύμφορον ἐλθὼν ἐν τῷ τῶν κλήρων πίνακι καὶ ζητήσας, πῶς ἐκβάλλεται ὁ τοῦ ἐγχειρουμένου πράγματος κλῆρος τυχόν, ἀπὸ ποίου ἀστέρος ἐπὶ ποῖον ἐπὶ ἡμέρας καὶ ἐπὶ ποῖον ἐπὶ νυκτός· καὶ ψηφίσας κατὰ τὴν εἰρημένην μέθοδον, εὑρήσεις τὸ τέλος τοῦ πράγματος ὁποῖον ἔσται. εἰ γὰρ οὗτος ὁ κλῆρος ἐμπέσῃ εἰς κλῆρον Δαίμονος ἢ εἰς κλῆρον Τύχης ἢ Ἀνάγκης ἢ ἐν μοίρᾳ, ἔνθα προσεχὴς σύνοδος ἢ πανσέληνος γέγονεν, ἢ ἐν ζῳδίῳ, ἐν ᾧ ἐστιν ἀγαθοποιὸς ἀστήρ, ἢ ἐν κέντρῳ, πάντα ἀγαθὰ ἔσται ἐν τῷ πράγματι ἐκείνῳ καὶ ἐπιτυχία πολλὴ ἔσται. εἰ δὲ ἐμπέσῃ ἢ ἐν ἀποκλίματι ἢ ἔνθα κακοποιὸς ἀστὴρ ὑπάρχει, ἢ ἄλλως πως ἐν κακῷ τόπῳ ἐμπέσῃ ὁ κλῆρος τοῦ πράγματος, ἀσύμφορος ἔσται αὐτοῦ ἡ ἐγχείρησις. καὶ αὕτη μὲν ἡ περὶ τῶν κλήρων τούτων χρῆσις.*

*Εἰκότως δὲ τοὺς πρώτους ἑπτὰ κλήρους τοὺς καθολικούς, λέγω τοὺς τῶν ἑπτὰ ἀστέρων, ὁ θειότατος Ἑρμῆς τοιούτοις ὀνόμασι προσηγόρευσεν, ὀνομάσας τὸν μὲν τῆς Σελήνης Τύχην, τὸν δὲ τοῦ Ἡλίου Δαίμονα καὶ τὰ ἑξῆς,*

© www.astrothesaurus.gr

*ἐπειδὴ καὶ τῇ φύσει ἡ μὲν Σελήνη Τύχη καθέστηκεν, ὁ δὲ Ἥλιος Δαίμων καὶ ἡ Ἀφροδίτη Ἔρως, ὁ δὲ τοῦ Ἑρμοῦ Ἀνάγκη, ὁ δὲ τοῦ Ἄρεως Τόλμα, ὁ δὲ τοῦ Διὸς Νίκη, ὁ δὲ τοῦ Κρόνου Νέμεσις. ὁ δὲ ὡροσκόπος τούτων ἀνὰ μέσον βραβεύει, βάσις καθεστὼς τοῦ παντὸς κόσμου, ἐπειδὴ ἀπ' αὐτοῦ ἐκβάλλονται πάντες οἱ κλῆροι, καὶ ἐπειδὴ τὸ γεννώμενον ἀπ' αὐτοῦ τὴν ζωὴν ἕλκει πρώτως. ὡσαύτως δὲ καὶ πᾶν πρᾶγμα ἐξ αὐτοῦ ἔχει τὴν καταρχήν, καὶ ἡ μὲν Τύχη σημαίνει τὰ περὶ τοῦ σώματος ἅπαντα καὶ τὰς κατὰ τὸν βίον πράξεις, κτήσεώς τε καὶ δόξης καὶ προεδρίας δηλωτικὴ καθέστηκεν, ὁ δὲ Δαίμων ψυχῆς καὶ τρόπου καὶ φρονήσεως καὶ δυναστείας πάσης κύριος τυγχάνει, ἔσθ' ὅτε δὲ καὶ τῷ περὶ πράξεως λόγῳ συνεργεῖ. ὁ δὲ Ἔρως σημαίνει τὰς ὀρέξεις καὶ τὰς ἐπιθυμίας τὰς κατὰ προαίρεσιν γινομένας, φιλίας τε καὶ χάριτος παραίτιος καθέστηκεν, ἡ δέ γε Ἀνάγκη συνοχάς τε καὶ ὑποταγάς, καὶ μάχας καὶ πολέμους, ἔχθρας τε καὶ μῖσος καὶ καταδίκας καὶ τὰ ἄλλα πάντα τὰ τοῖς ἀνθρώποις συμβαίνοντα βίαια πράγματα ποιεῖ. ἡ δὲ Τόλμα θράσους καὶ ἐπιβουλῆς καὶ ἰσχύος καὶ κακουργίας πάσης παραιτία καθέστηκεν. ἡ δὲ Νίκη πίστεως καὶ ἐλπίδος ἀγαθῆς καὶ ἀγῶνος καὶ κοινωνίας πάσης, ἔτι δὲ ἐπιβολῆς καὶ ἐπιτυχίας παραιτία καθέστηκεν. ἡ δὲ Νέμεσις δαιμονίων χθονίων καὶ τῶν κεκρυμμένων ἀποδείξεώς τε καὶ ἀδρανείας καὶ φυγῆς καὶ ἀπωλείας καὶ πένθους καὶ ποιότητος θανάτου παραιτία καθέστηκεν. ἡ δὲ βάσις ἐστὶν ὁ ὡροσκόπος, καὶ ζωῆς καὶ πνεύματος παραίτιος καθέστηκεν, ἐπειδὴ ἅμα τῷ γεννᾶσθαι πᾶν τὸ γεννώμενον ἐκ τοῦ ἀέρος ἐπισπᾶται τὸ ζωτικὸν πνεῦμα ἐν τῇ <τῆς> σταλαγμιαίας <ὥρας> ῥοπῇ <τῇ> κατὰ τὴν ἀποκύησιν τεταγμένῃ, ἥτις ἐστὶ τῶν ὅλων δηλωτική.*

© www.astrothesaurus.gr

*Ἔν τινι ἀντιγράφῳ εὑρέθησαν οἱ κλῆροι κατὰ τοιαύτην τάξιν γεγραμμένοι·*

***Οἱ κλῆροι οὗτοι ἡμερινοί·***

*Κλῆρος ξενιτείας ἀπὸ ☉ ἐπὶ ♂,*

*πλούτου ἀπὸ ♃ ἐπὶ ☉,*

*εὑρέματος ἀπὸ ♄ ἐπὶ ♃,*

*κλοπῆς ἀπὸ ☿ ἐπὶ ♂,*

*κληρονομίας ἀπὸ ♄ ἐπὶ ♀,*

*δανείων ἀπὸ ☿ ἐπὶ ♄,*

*πράξεως ἀπὸ ☿ ἐπὶ ☽,*

*μοιχείας ἀπὸ ♀ ἐπὶ ♂,*

*γονέων ἀπὸ ☉ ἐπὶ ☽,*

*δούλων ἀπὸ ♂ ἐπὶ ☽,*

*θανάτου ἀπὸ ♄ ἐπὶ ☽,*

*πραγματείας ἀπὸ ♃ ἐπὶ ♄,*

*σίνους ἀπὸ ♂ ἐπὶ ♄,*

*ζωῆς ἀπὸ Τύχης ἐπὶ ♀, ἢ ἀπὸ ♃ ἐπὶ ♄, ἢ ἀπὸ ♀ ἐπὶ ♄, ἢ ἐπὶ ☿,*

*ἐχθρῶν ἀπὸ ☉ ἐπὶ ♂,*

*πατρίδος ἀπὸ ♄ ἐπὶ ♃,*

*ἔρωτος ἀπὸ ♄ ἐπὶ ♂*

*συνοχῆς ἀπὸ ♄ ἐπὶ ♂,*

*πράξεως ἀπὸ ☉ ἐπὶ ♃,*

*πράγματος ἀπὸ ♃ ἐπὶ ♄,*

*ἀνοχῆς ἀπὸ ♄ ἐπὶ ☉,*

*ἐγγαίων ἀπὸ ♂ ἐπὶ ♀,*

*γεωργίας ἀπὸ ♄ ἐπὶ ♀,*

© www.astrothesaurus.gr

*διαθήκης ἀπὸ ☿ ἐπὶ ♃. [Ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὸ ἐναντίον.]*

*κλῆρος ἐξουσίας ἀπὸ ♂ ἐπὶ ☉,*

*κλῆρος στρατείας ἀπὸ ♂ ἐπὶ ♃,*

*ἐπιθυμίας ἀπὸ ♃ ἐπὶ ♀,*

*κοινωνίας ἀπὸ ☿ ἐπὶ ♀ [ἢ] ἀπὸ ♃ ἐπὶ ♀,*

*νίκης ἀπὸ ♀ ἐπὶ ♂,*

*ἀρχῆς καὶ δόξης ἀπὸ ♃ ἐπὶ ♀,*

*ἀγορασίας ἀπὸ ♀ ἐπὶ ☿ ἢ ἐπὶ ♂,*

*ναυκληρίας ἀπὸ ♄ ἐπὶ ♃,*

*φίλων ἀπὸ ☽ ἐπὶ ☿ ἢ ἀπὸ ♃ ἐπὶ ♀,*

*χωρίων ἀπὸ ♄ ἐπὶ ☿,*

*τέχνης ἀπὸ ♂ ἐπὶ ♀,*

*βίου ἀπὸ ♀ ἐπὶ ☽ ἢ ἐπὶ ♄,*

*βάσεων ἀπὸ Τύχης ἐπὶ Δαίμονα ἢ ἀπὸ ♀ ἐπὶ ☿,*

*ἀξιώματος ἀπὸ ♃ ἐπὶ Ἥλιον ἢ ἀπὸ ☉ ἐπὶ ♂,*

*κριτηρίων ἀπὸ ♄ ἐπὶ ☿ ἢ ἐπὶ ♂,*

*αἰδήμονος ἀπὸ ♂ ἐπὶ ☽,*

*λύπης ἀπὸ ♄ ἐπὶ ☉.*

***Ἄλλως οἱ κλῆροι κάλλιον.***

*Κλῆρος βίου ἀπὸ ☉ ἐπὶ ὡροσκόπον,*

*κλῆρος κοινωνίας ἀπὸ ♃ ἐπὶ ♀,*

*δούλων ἀπὸ ☿ ἐπὶ ☽,*

*ζωῆς ἀπὸ ♃ ἐπὶ ♄,*

*πράξεως ἀπὸ ☉ ἐπὶ ♃,*

© www.astrothesaurus.gr

*γεωργίας ἀπὸ ♄ ἐπὶ ♀,*

*κλῆρος φίλων ἀπὸ ♃ ἐπὶ ♀,*

*δόξης ἀπὸ ♃ ἐπὶ ♀,*

*διαθήκης ἀπὸ ☿ ἐπὶ ♃,*

*πλούτου ἀπὸ ♃ ἐπὶ ☉,*

*εὐρωστίας ἀπὸ ☉ ἐπὶ μεσουράνημα,*

*εὐφημίας ἀπὸ † δύο μέρη εἰς ☽ Δ †,*

*ἐχθρῶν ἀπὸ ♄ ἐπὶ ♂,*

*ἐγγαίων ἀπὸ ♀ ἐπὶ ♂,*

*ἀγορασίας ἀπὸ ♂ ἐπὶ ♀,*

*πράσεως ἀπὸ ☉ ἐπὶ ♂,*

*κλῆρος Τύχης Αἰγοκέρωτος ιζ´ Ἡλίου τριγωνοῦντος Ἑρμῆν Ἀφροδίτην,*

*κλῆρος Δαίμονος Διδύμων κβ´ Διὸς ἑξαγωνοῦντος Ἥλιον, τετραγωνοῦντος ...*

*κλῆρος Νίκης Κριοῦ κβ´, Ἡλίου τριγωνοῦντος ...*

*κλῆρος Ἔρωτος Διδύμων ιβ´ Ἑρμοῦ τετραγωνοῦντος Ἀφροδίτην,*

*κλῆρος γάμου ἐπὶ Διὶ Ἄρην τετραγωνοῦντι,*

*κλῆρος ξενιτείας Διδύμων μβ´ Ἀφροδίτης ἢ Κρόνου ἑξαγωνοῦντος Ἄρην.*

*Κλῆρος βασιλείας ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ τοῦ μεσουρανήματος,*

*κλῆρος ὑψώματος ἐπὶ γενέσεως ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ τὸ ὕψωμα αὐτοῦ, ἤτοι τὴν ιθ´ τοῦ Κριοῦ καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ ἀπὸ Σελήνης ἐπὶ τὸ ὕψωμα αὐτῆς ἤτοι τὴν γ´ μοῖραν τοῦ Σκορπίου καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου,*

*κλῆρος τροπῆς ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ Λέοντος,*

*κλῆρος ἑτέρας τροπῆς ἀπὸ Σελήνης ἐπὶ Ἥλιον καὶ τὰ ἴσα ἀπὸ Καρκίνου.*

*τηρητέος δὲ ὁ κύριος τῶν κλήρων τούτων.*

*Ἄρης γὰρ τυχὼν καὶ ἔσωθεν τῶν τριζῳδίων πεσὼν αἱματοχυσιῶν ἐστιν αἴτιος καὶ αἰχμαλωσιῶν.*

***Περὶ κλήρων πάντων τῶν ἀρχαίων***

*Κλῆρος Τύχης ἀπὸ ☉ ἐπὶ ☽ ἡμέρας, νυκτὸς δὲ ἀπὸ ☽ ἐπὶ ☉, καὶ μερίζω ἀπὸ ὡροσκόπου·*

*κλῆρος Δαίμονος ἀπὸ ☽ ἐπὶ ☉ ἡμέρας, νυκτὸς δὲ τὸ ἀνάπαλιν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου·*

*κλῆρος βάσεως ἡμέρας ἀπὸ Τύχης ἐπὶ Δαίμονα, νυκτὸς δὲ τὸ ἀνάπαλιν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου·*

*κλῆρος Ἔρωτος ἀπὸ Δαίμονος ἐπὶ ♀ ἡμέρας, νυκτὸς δὲ τὸ ἀνάπαλιν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου·*

*κλῆρος Ἀνάγκης ἡμέρας μὲν ἀπὸ ☿ ἐπὶ Τύχην, νυκτὸς δὲ τὸ ἀνάπαλιν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου·*

*κλῆρος Τόλμας ἡμέρας ἀπὸ ♂ ἐπὶ Τύχην, νυκτὸς δὲ τὸ ἀνάπαλιν·*

*κλῆρος Νίκης ἡμέρας ἀπὸ Δαίμονος ἐπὶ Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν·*

*κλῆρος Νεμέσεως ἡμέρας ἀπὸ ♄ ἐπὶ Τύχην, νυκτὸς δὲ τὸ ἀνάπαλιν·*

*κλῆρος πράξεως ἡμέρας ἀπὸ ☿ ἐπὶ ♂, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος πατρὸς ἡμέρας ἀπὸ ☿ ἐπὶ ♄, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος στρατείας ἡμέρας ἀπὸ ♂ ἐπὶ ♃, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος ἐπιστρατείας ἡμέρας ἀπὸ ♄ ἐπὶ ☽, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος βίου ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ δευτέρου τόπου ἐπὶ αὐτὸν τὸν β´ τόπον, καὶ τὰ ἴσα ἀπόλυε ἀπὸ ὡροσκόπου καὶ ἡμέρας καὶ νυκτός·*

*κλῆρος μητρὸς <ἡμέρας> ἀπὸ ♀ ἐπὶ ☽, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος γάμου ἀνδρὸς ἡμέρας ἀπὸ ♄ ἐπὶ ♀, νυκτὸς τὸ ἀνάπαλιν·*

© www.astrothesaurus.gr

*κλῆρος γάμου γυναικὸς ἡμέρας ἀπὸ ♀ ἐπὶ ♄, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος ζωῆς ἡμέρας ἀπὸ ☽ ἐπὶ ♀, νυκτὸς τὸ ἀνάπαλιν***2***.*

*κλῆρος εὑρέματος ἡμέρας ἀπὸ ♄ ἐπὶ ♃, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος εὑρέματος ἡμέρας ἀπὸ ♀ ἐπὶ ☿, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος κληρονομίας ἡμέρας ἀπὸ ♃ ἐπὶ ☿, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος τέχνης ἡμέρας ἀπὸ ♂ ἐπὶ ☽, νυκτὸς τὸ ἀνάπαλιν.*

*κλῆρος βίου ἡμέρας ἀπὸ ♀ ἐπὶ ♄, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος τέκνων ἡμέρας ἀπὸ ♃ ἐπὶ ♄, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος τέκνων θηλυκῶν ἡμέρας ἀπὸ ☽ ἐπὶ ♀, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος τέκνων ἀρσενικῶν ἀπὸ ☽ ἐπὶ ♃·*

*κλῆρος φίλων ἡμέρας ἀπὸ ☽ ἐπὶ ☿, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος δούλων ἡμέρας ἀπὸ ♀***3** *ἐπὶ ☽, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος θανάτου ἀπὸ ♄ ἐπὶ ☽ ἡμέρας, καὶ νυκτὸς καὶ τὰ ἴσα·*

*κλῆρος θανάτου ἀπὸ ☽ ἐπὶ ♄ ἡμέρας, νυκτὸς δὲ τὸ ἀνάπαλιν·*

*κλῆρος θανάτου ἀπὸ ☽ εἰς τὸ η´ ζῴδιον καὶ ἀπὸ Κρόνου δίδου τὸν μερισμὸν ἡμέρας καὶ νυκτός·*

*κλῆρος σίνους ἀπὸ ♄ ἐπὶ ♂ καὶ ἀπόλυε ἀπὸ ☿ ἡμέρας, νυκτὸς δὲ ἀπὸ ♂ ἐπὶ ♄ καὶ ἀπόλυε ἀπὸ ☿·*

*κλῆρος πλούτου ἡμέρας ἀπὸ ♄ ἐπὶ ☉, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος σπορίμου ἡμέρας ἀπὸ ☉ ἐπὶ ♂, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος ὀνείρων ἡμέρας ἀπὸ ♄ ἐπὶ ☿, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος δίκης ἡμέρας ἀπὸ ☿ ἐπὶ ♄, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος ζημίας ἡμέρας ἀπὸ ♂ ἐπὶ ♄, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος πράσεως ἡμέρας ἀπὸ ☿ ἐπὶ ☽, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος πατρίδος ἡμέρας ἀπὸ ☉ ἐπὶ ♂, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος ξενιτείας ἡμέρας ἀπὸ ☉ ἐπὶ ♂, νυκτὸς τὸ ἀνάπαλιν·*

*κλῆρος ξενιτείας ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ θ´ τόπου ἐπὶ τὸν θ´ τόπον, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ἡμέρας καὶ νυκτός·*

*κλῆρος αἰτιατικοῦ τόπου ἡμέρας ἀπὸ ♄ ἐπὶ ♂ καὶ τὰ ἴσα ἀπὸ ☿, νυκτὸς δὲ ἐναλλάξ· ὁ αὐτὸς κλῆρος λέγεται καὶ κακωτικὸς*

*ἀναιρέτου ἀστέρος ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ ὡροσκόπου ἐπὶ ☽ καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ ἐναλλάξ.*

*κλῆρος κλιμακτηρικοῦ ἐνιαυτοῦ ἡμέρας ἀπὸ ♄ ἐπὶ τὸν κύριον τοῦ προγενομένης συνόδου ἢ πανσελήνου καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου·*

*κλῆρος γάμου ἀνδρὸς κατὰ Οὐάλεντα ἀπὸ ☉ ἐπὶ ♀, γυναικὸς δὲ ἀπὸ ☽ ἐπὶ ♂ ἡμέρας καὶ νυκτός·*

*κλῆρος μοιχείας κατὰ τὸ διάμετρον τοῦ γάμου ἀπὸ ☉ ἐπὶ ☽ καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ἡμέρας καὶ νυκτός· τὸ δὲ ἀποτέλεσμα τοῦτο κεῖται ἐν τῷ δ´ κεφαλαίῳ τοῦ δευτέρου βίβλου Δωροθέου·*

*κλῆρος ὑψώματος γενέσεως ἡμέρας ἀπὸ ☉ ἐπὶ τὸ ὕψωμα αὐτοῦ, νυκτὸς δὲ ἀπὸ ☽ ἐπὶ τὸ ὕψωμα αὐτῆς·*

*κλῆρος ἐχθρῶν ἀπὸ ♄ ἐπὶ ☿·*

*κλῆρος σίνους ἡμέρας καὶ νυκτὸς ἀπὸ ♄ ἐπὶ ♂·*

*κλῆρος ἐγγαίων ἡμέρας καὶ νυκτὸς ἀπὸ ♀ ἐπὶ ♄·*

*κλῆρος δεσπότου ἡμέρας καὶ νυκτὸς ἀπὸ ♀ ἐπὶ ☉*

*κλῆρος ἀρρωστίας ἡμέρας ἀπὸ ♄ ἐπὶ ☿·*

*κλῆρος ἀποδήμου ἡμέρας ἀπὸ ☿ ἐπὶ ♂·*

*κλῆρος στρατείας ἡμέρας ἀπὸ ☿ ἐπὶ ♂·*

*κλῆρος δανειστοῦ ἡμέρας <καὶ> νυκτὸς ἀπὸ ♄ ἐπὶ ☿·*

© www.astrothesaurus.gr

*κλῆρος πλοὸς ἀπὸ ♄ ἐπὶ Καρκίνου μοίρας λαβὼν ἡμέρας καὶ ἀπὸ ὡροσκόπου μέρισον, νυκτὸς δὲ ἐναλλάξ·*

*κλῆρος ἐλευθερίας ἀπὸ ☿ ἐπὶ ☉*

*κλῆρος φιλίης ἀνδρὸς ἡμέρας ἀπὸ ☽ ἐπὶ ♃·*

*κλῆρος φίλου γυναικὸς ἡμέρας ἀπὸ ♃ ἐπὶ ☽*

*κλῆρος φίλης γυναικὸς ἡμέρας ἀπὸ ♀ ἐπὶ ☽*

*κλῆρος φίλου ἀνδρὸς ἡμέρας ἀπὸ ♀ ἐπὶ ♃·*

*κλῆρος ἀδελφῶν ἡμέρας καὶ νυκτὸς ἀπὸ ♄ ἐπὶ ♃·*

*εἰς πάντας δὲ τοὺς κλήρους τὰς μοίρας τοῦ ὡροσκόπου <δεῖ> λαβεῖν καὶ ἀπ᾽ αὐτοῦ μερίζειν. πάντες οἱ προγεγραμμένοι κλῆροι μερίζονται ἀπὸ τοῦ ὡροσκόπου πλὴν τῶν σεσημειωμένων.*

**Σημειώσεις**

**1.** † : Όπου συναντάται αυτό το σύμβολο δηλώνει:
α) ότι το συγκεκριμένο σημείο του χειρογράφου έχει καταστραφεί ολοσχερώς.
β) ότι στο σημείο αυτό έχει προστεθεί λέξη ή φράση που προέρχεται από άλλο κείμενο.

**2.** Σε πιο πρόσφατο χειρόγραφο αναφέρεται: "κλῆρος ζωῆς ἀπὸ ♃ ἐπὶ ♄ ἡμέρας".

**3.** Σε μεταγενέστερο χειρόγραφο κώδικα, αναγράφεται ο Ερμής αντί της Αφροδίτης στον υπολογισμό του κλήρου των δούλων.